νέμεται κατὰ τὸν τοῦ Διὸς λόγον ἤτοι ἐπὶ κολάσει ἢ κατ'
ἄλλην ἔχουσάν πως πρὸς τὰ ὅλα οἰκονομίαν.' ἔστι μὲν οὖν
καὶ τοῦτο δεινόν, τὸ καὶ γίνεσθαι τὴν κακίαν καὶ κολάζε-
σθαι κατὰ τὸν τοῦ Διὸς λόγον· ἐπιτείνει δὲ τὴν ὑπεναν-
τίωσιν ἐν τῷ δευτέρῳ περὶ Φύσεως γράφων τάδε· 'ἡ δὲ F
κακία πρὸς τὰ δεινὰ συμπτώματα ἴδιόν τιν' ἔχει λόγον·
γίνεται μὲν γὰρ καὶ αὐτή πως κατὰ τὸν τῆς φύσεως λόγον
καί, ἵν' οὕτως εἴπω, οὐκ ἀχρήστως γίνεται πρὸς τὰ ὅλα·
οὐδὲ γὰρ ἂν τἀγαθὸν ἦν.' καὶ οὗτος ἐπιτιμᾷ τοῖς ἐπίσης πρὸς
τὰ ἐναντία διαλεγομένοις, | ὃς ὑπὸ τοῦ πάντως τι βού- **1051**
λεσθαι καὶ περὶ παντὸς εἰπεῖν ἴδιον καὶ περιττὸν οὐκ ἀχρή-
στως λέγει βαλλαντιοτομεῖν συκοφαντεῖν καὶ ἀφραίνειν,
οὐκ ἀχρήστως ἀχρήστους εἶναι, βλαβεροὺς κακοδαίμονας.
εἶτα ποῖός τις ὁ Ζεύς, λέγω δὲ τὸν Χρυσίππου, κολάζων
πρᾶγμα μήτ' ἀφ' αὑτοῦ μήτ' ἀχρήστως γινόμενον; ἡ μὲν
γὰρ κακία πάντως ἀνέγκλητός ἐστι κατὰ τὸν τοῦ Χρυσίπ-
που λόγον, ὁ δὲ Ζεὺς ἐγκλητέος εἴτ' ἄχρηστον οὖσαν τὴν
κακίαν πεποίηκεν εἴτε ποιήσας οὐκ ἀχρήστως κολάζει.

36. *Πάλιν* ἐν τῷ πρώτῳ περὶ Δικαιοσύνης εἰπὼν περὶ
τῶν θεῶν ὡς ἐνισταμένων ἐνίοις ἀδικήμασι 'κακίαν δέ'
φησί 'καθόλου ἆραι οὔτε δυνατόν ἐστιν οὔτ' ἔχει καλῶς B
ἀρθῆναι'. *** τὴν ἀνομίαν τὴν ἀδικίαν τὴν ἀβελτερίαν, οὐ
τοῦ παρόντος ἐστὶ λόγου τὸ ζητεῖν· αὐτὸς δὲ τὴν κακίαν,
ὅσον ἐφ' ἑαυτῷ, διὰ τοῦ φιλοσοφεῖν ἀναιρῶν, ἣν οὐκ ἔχει
καλῶς ἀναιρεῖν, μαχόμενόν τι ποιεῖ καὶ τῷ λόγῳ καὶ τῷ
θεῷ. πρὸς δὲ τούτοις λέγων ἐνίοις ἀδικήμασιν ἐνίστα-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403574803/49 UNIVERSITÄT LEIPZIG